eul_wid: upu-ac

*Ὁμηρικοὶ Ὕμνοι* · Hymnic Collection Anonymous

# Hymn 25 To the Muses and Apollo

*Ὕμνος εἰς τὰς Μούσας καὶ Ἀπόλλωνα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἐπική* Epic (Homeric)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

Μουσάων ἄρχωμαι Ἀπόλλωνός τε Διός τε·
ἐκ γὰρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθονὶ καὶ κιθαρισταί,
ἐκ δὲ Διὸς βασιλῆες· ὁ δ᾽ ὄλβιος ὅν τινα Μοῦσαι
φίλωνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.
Χαίρετε τέκνα Διὸς καὶ ἐμὴν τιμήσατ᾽ ἀοιδήν·
αὐτὰρ ἐγὼν ὑμέων τε καὶ ἄλλης μνήσομ᾽ ἀοιδῆς.